νεκροὶ δὲ νεκροῖς ἐξεσωρεύονθ' ὁμοῦ.
πύργων μὲν οὖν γῆς ἔσχομεν κατασκαφὰς
εἰς τὴν παροῦσαν ἡμέραν· εἰ δ' εὐτυχὴς
ἔσται τὸ λοιπὸν ἥδε γῆ, θεοῖς μέλει·
καὶ νῦν γὰρ αὐτὴν δαιμόνων ἔσωσέ τις.
*ΧΟ.* καλὸν τὸ νικᾶν· εἰ δ' ἀμείνον' οἱ θεοὶ
γνώμην ἔχουσιν, εὐτυχὴς εἴην ἐγώ.
*ΙΟ.* καλῶς τὰ τῶν θεῶν καὶ τὰ τῆς τύχης ἔχει·
παῖδές τε γάρ μοι ζῶσι κἀκπέφευγε γῆ.
Κρέων δ' ἔοικε τῶν ἐμῶν νυμφευμάτων
τῶν τ' Οἰδίπου δύστηνος ἀπολαῦσαι κακῶν,
παιδὸς στερηθείς, τῇ πόλει μὲν εὐτυχῶς,
ἰδίᾳ δὲ λυπρῶς. ἀλλ' ἄνελθέ μοι πάλιν,
τί τἀπὶ τούτοις παῖδ' ἐμὼ δρασείετον.
*ΑΓΓ.* ἔα τὰ λοιπά· δεῦρ' ἀεὶ γὰρ εὐτυχεῖς.
*ΙΟ.* τοῦτ' εἰς ὕποπτον εἶπας· οὐκ ἐατέον.
*ΑΓΓ.* μεῖζόν τι χρῄζεις παῖδας ἢ σεσῳσμένους;
*ΙΟ.* καὶ τἀπίλοιπά γ' εἰ καλῶς πράσσω κλύειν.
*ΑΓΓ.* μέθες μ'· ἔρημος παῖς ὑπασπιστοῦ σέθεν.
*ΙΟ.* κακόν τι κεύθεις καὶ στέγεις ὑπὸ σκότῳ.
*ΑΓΓ.* οὐκ ἄν γε λέξαιμ' ἐπ' ἀγαθοῖσί σοι κακά.
*ΙΟ.* ἢν μή γε φεύγων ἐκφύγῃς πρὸς αἰθέρα.
*ΑΓΓ.* αἰαῖ· τί μ' οὐκ εἴασας ἐξ εὐαγγέλου
φήμης ἀπελθεῖν, ἀλλὰ μηνῦσαι κακά;
τὼ παῖδε τὼ σὼ μέλλετον, τολμήματα
αἴσχιστα, χωρὶς μονομαχεῖν παντὸς στρατοῦ,
λέξαντες Ἀργείοισι Καδμείοισί τε
εἰς κοινὸν οἷον μήποτ' ὤφελον λόγον.
Ἐτεοκλέης δ' ὑπῆρξ' ἀπ' ὀρθίου σταθεὶς
πύργου, κελεύσας σῖγα κηρῦξαι στρατῷ·

---

ἔλεξε δ'· ὦ γῆς Ἑλλάδος στρατηλάται

---

1199. habent AB*C*, omittunt ceteri. 1201. *ἔχουσιν γρ. ἔχοιεν* A *ἔχοιεν* Bbc *ἔχουσιν* EF*C* 1210. *κοὐκ C* 1215. *οὐκ* F *κοὐκ* ceteri. *σοι*] Geelius, *σοῖς* libri. 1216. *μή με* E*C* 1225. schol.: *οὗτος δὲ ὁ στίχος ἐν πολλοῖς ἀντιγράφοις οὐ φέρεται.*